ἃς φίλος οὔτις ἀνὴρ ὑπερίσταται,
ἀλλ' ἁπερεί τις ἔποικος ἀναξία
οἰκονομῶ θαλάμους πατρός, ὧδε μὲν
ἀεικεῖ σὺν στολᾷ,
κεναῖς δ' ἀμφίσταμαι τραπέζαις.

Χο. οἰκτρὰ μὲν νόστοις αὐδά, στρ.
οἰκτρὰ δ' ἐν κοίταις πατρῴαις
ὅτε οἱ παγχάλκων ἀνταία
γενύων ὡρμάθη πλαγά.
δόλος ἦν ὁ φράσας, ἔρος ὁ κτείνας,
δεινὰν δεινῶς προφυτεύσαντες
μορφάν· εἴτ' οὖν θεὸς εἴτε βροτῶν
ἦν ὁ ταῦτα πράσσων.

Ηλ. ὦ πασᾶν κείνα πλέον ἁμέρα
ἐλθοῦσ' ἐχθίστα δή μοι·
ὦ νύξ, ὦ δείπνων ἀρρήτων
ἔκπαγλ' ἄχθη·
τοὺς ἐμὸς ἴδε πατὴρ
θανάτους αἰκεῖς διδύμαιν χειροῖν,
αἳ τὸν ἐμὸν εἷλον βίον
πρόδοτον, αἵ μ' ἀπώλεσαν·
οἷς θεὸς ὁ μέγας Ὀλύμπιος
ποίνιμα πάθεα παθεῖν πόροι,
μηδέ ποτ' ἀγλαΐας ἀποναίατο
τοιάδ' ἀνύσαντες ἔργα.

Χο. φράζου μὴ πόρσω φωνεῖν. ἀντ.
οὐ γνώμαν ἴσχεις ἐξ οἵων
τὰ παρόντ'; οἰκείας εἰς ἄτας

192 ἀμφίσταμαι rec Eustath. 1692, 57: ἀφίσταμαι L[ac]: ἐφίσταμαι L[c] A rec  195 ὅτε οἱ Hermann: ὅτε σοι codd. Σ Suid v. γένυς  197 ἔρος . . . δόλος Wakefield  204 ἔκπαγλα πάθη Σ[γρ]  205 ἴδε Brunck: εἶδε codd. (οἶδε Γ)  206 αἰκεῖς Seidler: ἀϊκεῖς L: ἀεικεῖς A rec  χειροῖν Liv p: χεροῖν cett.  215 τὰ παρόντ'; οἰκείας L A rec: vulgo sine distinctione leguntur: δ' post οἰκείας add. Bergk